eul_wid: iuc-ab

*Ἀλέξανδρος ὁ Αἰτωλός* · Alexander of Aetolia

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 534.1.1 Ἄνθρωπε, ζωῆς περιφείδεο μηδὲ παρ’ ὥρην
book 534.1.2 ναυτίλος ἴσθι· καὶ ὣς οὐ πολὺς ἀνδρὶ βίος.
book 534.1.3 δείλαιε Κλεόνικε, σὺ δ’ εἰς λιπαρὴν Θάσον ἐλθεῖν
book 534.1.4 ἠπείγευ, Κοίλης ἔμπορος ἐκ Συρίης,
book 534.5.1 ἔμπορος, ὦ Κλεόνικε· δύσιν δ’ ὑπὸ Πλειάδος αὐτὴν
book 534.5.2 ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς.
book 709.1.1 Σάρδιες ἀρχαῖαι, πατέρων νομός, εἰ μὲν ἐν ὑμῖν
book 709.1.2 ἐτρεφόμαν, κερνᾶς ἦν τις ἂν ἢ μακελᾶς
book 709.1.3 χρυσοφόρος ῥήσσων καλὰ τύμπανα· νῦν δέ μοι Ἀλκμὰν
book 709.1.4 οὔνομα καὶ Σπάρτας εἰμὶ πολυτρίποδος
book 709.5 καὶ Μούσας ἐδάην Ἑλικωνίδας, αἵ με τυράννων
book 709 θῆκαν Δασκύλεω μείζονα καὶ Γύγεω.
book 172.1 Αὐτά που τὰν Κύπριν ἀπηκριβώσατο Παλλὰς
book 172 τᾶς ἐπ’ Ἀλεξάνδρου λαθομένα κρίσιος.